www.tezaurliturgic.ro

# «ΠΡΟΣΚΥΝΗΤΑΡΙΟΝ»

ΤΟΥ ΙΕΡΟΥ ΜΕΤΟΧΙΟΥ

# «ΑΓΙΑ ΒΑΡΒΑΡΑ»

ΠΛΗΣΙΟΝ ΤΗΣ ΠΟΛΕΩΣ ΜΕΓΑΡΩΝ

Ἔκδοσις
Ἱερᾶς Μονῆς Κοιμήσεως Θεοτόκου
Κυπαρισσιωτίσσης καὶ Ἁγίου Ἱεροθέου Μεγάρων

Νοέμβριος 2007

www.tezaurliturgic.ro

# Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## Εἰς τήν Ἁγίαν Μεγαλομάρτυρα
## ΒΑΡΒΑΡΑ

Ποιηθεὶς μὲν τὸ πάλαι ὑπὸ Εὐθυμίου καὶ καταχωρηθεὶς ἐν τοῖς βιβλίοις, ἄρτι δὲ διασκευασθεὶς καὶ εἰς τὸ μέτρον διορθωθεὶς ὑπὸ Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

*Ὁ ἱερεύς:* Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας, τῶν αἰώνων.

*Ὁ ἀναγνώστης:* Ἀμήν.

*Ψαλμός ρμβ'. (142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος· καί ἠκηδίασεν ἐπ ἐμέ τό πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου. Μή ἀποστρέψῃς τό



πρόσωπόν σου ἀπ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τό πρωΐ τό ἔλεός σου ὅτι ἐπί Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τήν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρός Σέ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχή μου καί ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου, καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου· ὅτι ἐγώ δοῦλός Σού εἰμι.

*Καί εὐθύς τό:* Θεός Κύριος καί ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Τό ἐπαναλαμβάνομεν ἀνά στίχον.

Στίχος α'. ἐξομολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.

Στίχος β'. πάντα τά ἔθνη ἐκύκλωσάν με καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχος γ'. παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Κατόπιν τά Τροπάρια.

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...*

Βαρβάρα Μάρτυς τοῦ Χριστοῦ ἀθληφόρε, ἐν τῇ ἀθλήσει σου ἐξέπληξας πάσας, τῶν οὐρανῶν τά τάγματα, Ἀγγέλων χορούς· καί κατετραυμάτισας, τοῦ σατᾶν τάς δυνάμεις, φέρουσα στεῤῥότατα, τῶν πληγῶν τάς ὀδύνας·

www.tezaurliturgic.ro

ὁ σός Νυμφίος ὅθεν σε τιμᾷ, ὁ σου Χριστός, ταῖς ἰατρείαις, τρανῶς θαυμαστώσας σε.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

*Ὅμοιον.*

Ἅπαντες δεῦτε οἱ ἐν πόνοις καί λύπαις, τῆς χριστονύμφης τῇ εἰκόνι ἐλθόντες, νῦν μετά θείας πίστεως καί πόθου ψυχῆς· ταύτην ἀσπασώμεθα, καί θερμῶς προσπτυχθῶμεν, κράζοντες καί λέγοντες, ῥῦσαι πάσης ἀνάγκης· κινδύνων νόσων καί τῶν συμφορῶν, τούς σούς ἱκέτας, Βαρβάρα πανένδοξε.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Ῥῶσιν ψυχῶν τε καί σωμάτων αἰτοῦντες, ἁμαρτωλοί καί ταπεινοί σοί προσπίπτομεν, ἐν μετανοίᾳ κράζοντες, ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ ἡμῖν σπλαχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπό πλήθους πταισμάτων, μή ἀποστρέψῃς σούς δούλους κενούς, σέ γάρ καί μόνην, ἐλπίδα κεκτήμεθα.

Ὁ Ἀναγνώστης.

*Ψαλμός Ν΄ (50)*

Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.

Ἐπί πλεῖον πλῦνόν με ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με.



Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διά παντός.

Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί τά κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι· πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπό τῶν ἁμαρτιῶν μου, καί πάσας τάς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μή ἀποῤῥίψῃς με ἀπό τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό ἅγιον μή ἀντανέλῃς ἀπ ἐμοῦ.

Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καί πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπί Σέ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τήν δικαιοσύνην Σου.

Κύριε, τά χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τήν Σιών καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ.

www.tezaurliturgic.ro

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφοράν καί ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν Σου μόσχους.

*Καὶ ἀρχόμεθα τοῦ Κανόνος.*

*Ἡ ἀκροστιχίς τοῦ Κανόνος.*

«Βαρβάραν νύμφην Χριστοῦ ὑμνῶν λιτάζομαι Εὐθύμιος».

*ᾨδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βαρβάρα πανάμωμε τοῦ Χριστοῦ, νύμφη ἀθληφόρε καί ἐν μάρτυσι θαυμαστή, ἱκάνωσον χείλη μου καί γλῶσσαν· ἄθλους ὑμνῆσαι τούς σούς καί τά θαύματα.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁγνείας χιτῶνα τόν καθαρόν, φέρουσα νεᾶνις ποικιλθέντα ταῖς ἀρεταῖς, προσῆλθες Χριστῷ τῷ σῷ Νυμφίῳ· μαρτυρικοῖς τοῦτον λάμψασα αἵμασιν.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ρημάτων ζωῆς τῆς ἀληθινῆς, πάνσεμνε δεχθεῖσα μυστικῶς παρά τῆς τροφοῦ, ἑκατονταπλάσιον τήν τούτων· ὡς ἀγαθή γῆ ἀπέδωκας κάρπωσιν.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Ἀνύμφευτε Μῆτερ τοῦ ποιητοῦ, Νύμφη τοῦ Δεσπότου καί τοῦ Πνεύματος κιβωτέ, πάντες προσκυνοῦμεν σου τόν τόκον· θεογεννήτριαν σὲ προσκαλούμενοι.



*ᾨδή γ΄. Οὐρανίας ἁψῖδος...*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοῦν ψυχήν καί καρδίαν, ὡς προσφοράν ἄμωμον, τῷ Θεῷ προσήνεγκας μάρτυς, καί νύμφη πάγκαλλος, εἰς τήν παστάδα Χριστοῦ, πεφοινιγμένη εἰσῆλθες, τοῖς σεπτοῖς σου αἵμασι, τοῦτον ἱλάσκεσθαι.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοῦν ψυχήν καί καρδίαν, καί τό ἐσθλὸν σῶμα μου, ἡδοναῖς ἠχρείωσα οἴμοι, καί κατεμόλυνα, ἀλλ᾽ ὦ Βαρβάρα σεμνή, χεῖρα μοι δός βοηθείας, καί τῶν πολεμούντων με, παθῶν ἐξάρπασον.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ὑλικῶν με φροντίδων, καί κοσμικῶν πάνσεμνε, σύ με ἐλευθέρωσον Μάρτυς, Βαρβάρα πάνσοφε, καί ὅλον ποίησον, φρονεῖν καί θέλειν τά ἄνω, καί ποιεῖν τό θέλημα, τό τοῦ Νυμφίου μου.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Μακαρίζομεν πᾶσαι, αἱ γενεαί Δέσποινα, καί ὁμολογοῦμέν σε Κόρη, θεογεννήτριαν, καί ἱκετεύομεν, ταῖς μητρικαῖς σου πρεσβείαις, τῷ Υἱῷ σου πάναγνε, ἡμᾶς φιλίωσον.

Διάσωσον, ἀπό κινδύνων καί νόσων Βαρβάρα μάρτυς, τούς προστρέχοντας εὐλαβῶς τῷ θείῳ τεμένει σου, πρὸς Κύριον θείαις σου ἱκεσίαις.

www.tezaurliturgic.ro

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Μετά τήν ἐκφώνησιν τῆς συναπτῆς.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή...*

Θαυμάτων πηγάς, Βαρβάρα ἀναβλύζουσα, προφθάνεις θερμῶς, τούς ἐπιβοωμένους σου, τό ὄνομα τό ἅγιον· καί διώκεις λοιμώδη νοσήματα, διά τοῦτο βοῶμέν σοι σεμνή· τῆς τούτων ἡμᾶς ῥύμης διάσωζε.

*ᾨδή δ΄. Εἰσακήκοα, Κύριε...*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φοβερά κολαστήρια, ὑπέρ τοῦ Κυρίου καθυπομείνασα· ἐκτενῶς αὐτόν ἱκέτευε, αἰωνίων ῥῦσαί με κολάσεων.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡγνισμένη βαπτίσματι, τῷ τοῦ μαρτυρίου Βαρβάρα πάνσεμνε· ἁγνούς ἅπαντας παράστησον, τούς σέ ἀνυμνοῦντας τῷ Νυμφίῳ Σου.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Νικηφόρως τελέσασα, τήν πρός τόν βελίαρ πάλην ἀοίδιμε· κατ' αὐτοῦ ἡμᾶς καθόπλισον, κραταιᾷ Βαρβάρα ἀντιλήψει σου.



Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Χαῖρε θρόνε πυρίμορφε, τοῦ Θεοῦ τῶν ὅλων Μαρία Πάναγνε· χαῖρε Μῆτερ ἀειπάρθενε, καί ψυχῆς μου χαῖρε ἡ εὐπρέπεια.

*ᾨδή ε΄. Φώτισον ἡμᾶς...*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥῶσιν τῇ ψυχῇ, καί τῷ σώματί μου δώρησαι, καί ἁπάντων ὦ Βαρβάρα ὀδυνῶν, καί ὡς θεράπων, θαυμαστῶς σύ με θεράπευσον.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴασαι ἡμῶν, πάθη μάρτυς τά ἀνίατα, τῇ σῇ χάριτι ἥν ἔσχες ἐκ Θεοῦ, δι' ὅν τό αἷμα, ὦ Βαρβάρα σου ἐξέχεας.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Σῶζε στοργικῶς, τῶν βρεφῶν τά ἀῤῥωστήματα, ὦ Βαρβάρα ἀσθενούντων ἀρωγέ, ἵνα τιμῶμεν, εὐγνωμόνως σου τό ὄνομα.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Τάχυνον ἐλθέ, πειρασμῶν ἡμᾶς ἐξάγαγε, συμφορῶν τε ἐλευθέρωσον δεινῶν, τῶν θλιβομένων, ἡ χαρά Μαρία Πάναγνε.

www.tezaurliturgic.ro

*Ὠδή στ΄. Τήν δέησιν...*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ οἶκος σου, ὦ Βαρβάρα ἔνδοξε, τῶν χαρίτων τῶν ἐνθέων πληροῦται· καὶ δωρεῶν, οὐρανίων ὑπάρχει, ὡς ποταμός καθαρός καί ἀείρροος· ἐξ οὗ οἱ πίνοντες πιστοί· τῆς ὑγείας ἀεί ἀπολαύουσιν.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπάρχει σου, ὦ Βαρβάρα ἄμισθον, ἰατρεῖον ὁ ναός σου ὁ θεῖος· τῶν ἀσθενῶν, καταφύγιον μέγα, καί κλονουμένων λιμήν ὁ ἀχείμαστος· πρός ὅν ἀθρόως οἱ πιστοί· μετά πόθου ἀεί καταφεύγομεν.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ὑγίειαν, τῆς ψυχῆς καί σώματος, ἀπολέσας Χριστομάρτυς Βαρβάρα· ἁμαρτιῶν, διά πλῆθος ὁ τάλας, ἐν τῷ Ναῷ σου ἱκέτης κατέφυγον· σπλαγχνίσθητι νῦν οὖν θερμῶς· καί τήν ῥῶσιν ταχέως μοι βράβευσον.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Μητρόθεε, τό γλυκύ μοι ὄνομα, ἡ ἐλπίς καί προστασία τοῦ κόσμου· σαῖς μητρικαῖς, ἱκεσίαις Παρθένε, πρός τόν Δεσπότην τῶν ὅλων κατάπεμψον· τοῖς τέκνοις σου ἀπαλλαγήν· πειρασμῶν τε καί νόσων καί θλίψεων.

Διάσωσον, ἀπό κινδύνων καί νόσων Βαρβάρα Μάρτυς, τούς προστρέχοντας εὐλαβῶς τῷ θείῳ τεμένει σου, πρός Κύριον θείαις σου ἱκεσίαις.



Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικήν παῤῥησίαν.

ὁ Ἱερεύς μνημονεύει ὡς δεδήλωται.
Μετά δέ τήν ἐκφώνησιν.

*Κοντάκιον. Ἦχος β΄. Τά ἄνω ζητῶν...*

Μαρτύρων Χριστοῦ ἡ δόξα καί τό καύχημα, παρθένων Θεοῦ τό μέγα ἐγκαλλώπισμα, Βαρβάρα πανάριστε, τῆς Τριάδος ὑπέρμαχε· ὡς τά εἴδωλα κατετροπώσω εὐσθενῶς, οὕτω δίωξον τά τυραννοῦντα ἡμᾶς πάθη, τῇ θείᾳ δυνάμει σου.

*Εἶτα τό Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου.*

Ἐκ νεότητός μου, πολλά πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτός ἀντιλαβοῦ, καί σῶσον, Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπό τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρί ἔσεσθαι ἀπεξηραμμένοι (δίς).

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχή ζωοῦται, καί καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τά τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τήν κτίσιν, πρός ζωογονίαν.

www.tezaurliturgic.ro

*Προκείμενον.*
Θαυμαστός ὁ Θεός ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατά Λουκᾶν (κεφ. κα' 12-19)

Εἶπεν ὁ Κύριος· προσέχετε ἀπό τῶν ἀνθρώπων, ἐπιβαλοῦσι γάρ ἐφ ὑμᾶς τάς χεῖρας αὐτῶν καί διώξουσι, παραδιδόντες εἰς συναγωγάς καί φυλακάς, ἀγομένους ἐπί βασιλεῖς καί ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου.

Ἀποβήσεται δέ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τάς καρδίας ὑμῶν, μή προμελετᾶν ἀπολογηθῆναι· ἐγώ γάρ δώσω ὑμῖν πνεῦμα καί σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδέ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.

Παραδοθήσεσθε δέ καί ὑπό γονέων καί συγγενῶν καί ἀδελφῶν καί φίλων, καί θανατώσουσιν ἐξ ὑμῶν, καί ἔσεσθε μισούμενοι ὑπό πάντων διά τό ὄνομά μου, καί θρίξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μή ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τάς ψυχάς ἡμῶν.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ταῖς τῆς ἀθληφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.



Στίχος:

Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

*Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Νεῦσον παρακλήσεσι, σῶν ἱκετῶν ὦ Βαρβάρα, μάρτυς καλλιπάρθενε, στεναγμοῦ τε ἄκουσον, τοῦ οἰκτροῦ ἡμῶν. Κύματα γάρ θλίψεων, καί νόσων παντοίων, τάς ψυχάς ἡμῶν συνέχουσι, καί πάθη ἄγρια, κατατυραννοῦσι καλλίνικε. Σύ οὖν ἡμᾶς οἰκτίρησον, καί δεινῶν παντοίων ἀπάλλαξον. Οἴδαμεν γάρ ὅτι, ἡδέως ἐπακούει σου Χριστός, ὅν ὡς Νυμφίον ἐδόξασας, ποταμοῖς αἱμάτων σου.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τῇ κληρονομίᾳ σου.

*Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας...*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὥσπερ νύμφη ὡραία, λαμπρυνθεῖσα Βαρβάρα ταῖς τῶν βασάνων σειραῖς, εἰσῆλθες εἰς τήν θείαν, παστάδα τοῦ Κυρίου, εὐφροσύνως προσᾴδουσα· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοσούντων ἰατῆρα, καί νηπίων προστάτην πάντες σέ οἴδαμεν, Βαρβάρα ἀθληφόρε, προφθάνουσαν ἐνθέρμως, τοῖς ἐν πίστει κραυγάζουσιν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

www.tezaurliturgic.ro

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Λοιμώδους νόσου πάσης, πονηρᾶς βασκανίας καί πάσης ἄλλης πληγῆς, Βαρβάρα φρούρει σκέπε, διάσωζε δέ τάχει, τούς ἐκ πόθου κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός εὐλογητός εἶ.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Ἰάτρευσον Παρθένε, τῆς ψυχῆς μου τά πάθη καί τά τοῦ σώματος, ὡς τέξασα ἀφράστως, Χριστόν τόν Ζωοδότην, τόν τάς νόσους ἰώμενον· ὅν ἀνυμνοῦμεν πιστῶς, εἰς πάντας τούς αἰῶνας.

*Ὠδή η΄. Τόν Βασιλέα τῶν οὐρανῶν...*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν ἰαμάτων, σου τά θαυμάσια μάρτυς, διηγήσασθαι γλῶσσα οὐ σθένει, ὅθεν σέ τιμῶμεν, Βαρβάρα εἰς αἰῶνας.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἅπαντας ῥῦσαι, τῆς λοιμικῆς ὦ Βαρβάρα, καί πληγῶν ἀλγεινῶν ἀνιάτων, ὅπως σέ τιμῶμεν, εἰς πάντας τούς αἰῶνας.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ζέοντι πόθῳ, καί ἀκλονήτῳ σε πίστει, ἱκετεύω Βαρβάρα σωθῆναι, τῇ σῇ προστασίᾳ, βασάνων αἰωνίων.



Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Ὁ Λόγος Κόρη, ὁ προελθών ἐκ γαστρός σου, μακαρίζειν ἐδίδαξε πάντας, σέ Θεοῦ ὡς Μήτηρ, Μαρία εἰς αἰῶνας.

*Ὠδή θ΄. Κυρίως Θεοτόκον.*

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μαρτύρων ἡ ἀκρότης, κλέος τῶν παρθένων, καί ἰατρός τῶν νοσούντων, ὑπάρχεις σεμνή, ὅθεν σέ πόθῳ τιμῶμεν, Βαρβάρα πάγκαλλε.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπάλλαξον Βαρβάρα, Μάρτυς τούς τιμῶντας, τῶν σῶν βασάνων τό πλῆθος, σφαγήν τε φρικτήν, σωματικῶν ἀλγηδόνων, καί πάσης θλίψεως.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ἰδεῖν τήν ἱεράν σου, ὄψιν καί γλυκεῖαν, τούς σούς ἱκέτας Βαρβάραν ἀξίωσον, ἐν τῇ φρικτῇ τοῦ θανάτου, ὥρᾳ φιλεύσπλαγχνε.

Καί νῦν καί ἀεί
καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Θεοτοκίον.*

Εὐφραίνει τάς καρδίας, πόθῳ τῶν ὑμνούντων, τά μεγαλεῖα τά σά, Θεονύμφευτε, τό ὄνομά σου τό θεῖον, Μαρία πάναγνε.

www.tezaurliturgic.ro

*Καί εὐθύς τά Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τήν τιμιωτέραν τῶν Χερουβείμ, καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν· τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

*Μεγαλυνάρια τῆς Ἁγίας.*

Θύγατερ Θεοῦ τοῦ ἀληθινοῦ, ἀμνάς ὦ Βαρβάρα, τοῦ Παντάνακτος Ἰησοῦ, βασάνους σου πάσας, ὑπέρ αὐτοῦ τιμῶντες· ὡς μάρτυρα Κυρίου σέ μεγαλύνομεν.

Ὑμνήσωμεν πάντες χρεωστικῶς, τῆς Νικομηδείας τόν βλαστόν τόν ἀειθαλῆ, Βαρβάραν τήν πάνυ ὡραίαν Χριστονύμφην· τήν κρήνην τῶν ἰάσεων, τήν πολύκρουνον.

Μή παύσῃ πρεσβεύουσα ἐκτενῶς, πάγκαλε Βαρβάρα, τῷ Νυμφίῳ σου Ἰησοῦ, ὑπέρ τῶν ὑμνούντων σφαγήν σου τήν τιμίαν· καί τῶν ὁμολογούντων τά σά θαυμάσια.

Ἰουλιανήν τε τήν σήν τροφόν, τήν γεννήσασάν σε ἐν Χριστῷ καί τήν κοινωνόν, πάθους τοῦ σεπτοῦ σου Βαρβάρα ἀνυμνοῦμεν· καί εὐλαβῶς τιμῶμεν καί μεγαλύνομεν.

Ὁ ναός σου δέδεικται ἀληθῶς, θαυμαστή Βαρβάρα ἰατρεῖον ἀληθινόν, καί πάντες οἱ πίστει προσφεύγοντες καί πόθῳ· σῆς χάριτος λαμβάνουσι τά ἰάματα.



Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων οἱ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου· ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον, καί μετά τό Ἀπολυτίκιον. Ἦχος β'.*

Βαρβάραν τήν ἁγίαν τιμήσωμεν, ἐχθροῦ γάρ τάς παγίδας συνέτριψε, καί ὡς στρουθίον ἐρρύσθη ἐξ αὐτῶν, βοηθείᾳ καί ὅπλῳ τοῦ Σταυροῦ ἡ πάνσεμνος.

*Ἀπολυτίκιον. Ἕτερον.*

*Ἦχος α'. Τῆς ἐρήμου πολίτης...*

Μαρτυρίου τούς πόνους, καί τά θεῖα παλαίσματα, μεγαλοψυχίας σου σθένος, καί σῆς νίκης τά ἔπαθλα· Βαρβάρα μεγαλύνομεν πιστῶς, στεῤῥά Μεγαλομάρτυς τοῦ Χριστοῦ, τῆς Τριάδος τῆς Ἁγίας ἡ κοινωνός, ἥν θαυμαστῶς ἐδόξασας. Χαίροις Νικομηδείας ἡ τιμή, χαίροις παρθένων στέφανος· χαίροις νόσου λοιμώδους ἰατρός, στρατοῦ τε προασπίζουσα.

Ὁ Ἱερεύς.

Ἐκτενής δέησις καί ἀπόλυσις, καί εὐθύς τά τροπάρια.

Σπεῦσον ἐξελοῦ ἡμᾶς δεινῶν, τῶν περικυκλούντων Βαρβάρα, τούς σούς ἱκέτας σεμνή, νόσων τε καί θλίψεων, καί πειρασμῶν τοῦ ἐχθροῦ, καί γάρ κέκτησαι δύναμιν, καί χάριν θαυμάτων, δι ὧν σέ ἐδόξασε, ὁ σός Νυμφίος Χριστός, Ὅνπερ ἐμνηστεύθης παρθένε, τῷ λαμπρῷ ἁγνείας χιτῶνι, καί τοῦ μαρτυρίου σου τοῖς αἵμασιν.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

www.tezaurliturgic.ro

Τήν πᾶσαν ἐλπίδαν μου, εἰς Σέ ἀνατίθημι, Μῆτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Ὁ Ἱερεύς.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΔΙΣΤΙΧΑ ΑΚΡΟΤΕΛΕΥΤΙΑ

Σύν Εὐθυμίου τάς λιτάς, ἅς πάλαι σοι προσῆγε,
Βαρβάρα Νύμφη τοῦ Χριστοῦ θεία Μεγαλομάρτυς,
δέχου καί νῦν προσαγωγήν τῶν ταπεινῶν μου ὕμνων,
λιτάζει ὅλης ἐκ ψυχῆς ἡ πένης Ἰσιδώρα,
Μονῆς καί Μετοχίου σου σεπτοῦ ἡ προεστῶσα,
ἐν δόξης τε σκηνώματι τῷ σῷ ἡ παροικοῦσα,
ἐν οὐρανίοις δέ σκηναῖς οἰκεῖν ἐπιποθοῦσα,
μετά παρθένων ἐκλεκτῶν καί σύν φρονίμοις δούλοις,
ἐν κοινωνίᾳ τῶν υἱῶν καί φίλων τοῦ Νυμφίου,
ἵνα Θεόν δοξάζωμεν ὁμοῦ σύν τοῖς Ἁγίοις,
τόν ἕνα καί τρισάγιον ὅν πᾶσα κτίσις σέβει,
Πατέρα ἅμα σύν Υἱῷ καί Πνεύματι Ἁγίῳ,
ᾧ ἁρμοδίως ἡ τιμή προσήκει εἰς αἰῶνας.

ΤΕΛΟΣ
ΚΑΙ ΤΩ ΘΕΩ ΗΜΩΝ, ΤΩ ΕΝ ΑΓΙΟΙΣ ΘΑΥΜΑΣΤΩ
ΚΑΙ ΥΠ' ΑΥΤΩΝ ΑΕΙ ΔΟΞΑΖΟΜΕΝΩ,
ΚΡΑΤΟΣ, ΤΙΜΗΝ ΚΑΙ ΑΙΝΕΣΙΝ,
ΠΡΟΣΚΥΝΗΣΙΝ ΚΑΙ ΔΟΞΑΝ,
ΕΝ ΟΥΡΑΝΩ ΚΑΙ ΕΠΙ ΤΗΣ ΓΗΣ,
ΝΕΜΟΜΕΝ ΕΙΣ ΑΙΩΝΑΣ
**ΑΜΗΝ**





Τὸ ξύλινον προσκυνητάριον μετὰ τῆς παλαιᾶς θαυματουργοῦ εἰκόνος τῆς Ἁγίας Βαρβάρας καὶ τῶν ἐπ' αὐτῆς ἀφιερωμάτων, ἐν τῷ ὁμωνύμῳ Ἱερῷ Ναῷ.

www.tezaurliturgic.ro

ΤΗ͂ 4ῃ ΤΟΥ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ

# ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΒΑΡΒΑΡΑΝ

(Ἀγνώστου ποιητοῦ. Καταχωρηθέντες εἰς τὸ Ὑμνολόγιον τῆς Ἐκκλησίας).

*Κοντάκιον. Ἦχος πλ. δ΄.*
*Τῇ ὑπερμάχῳ.*

Τῇ ὑπερμάχῳ καὶ ταχείᾳ ἀντιλήψει σου, προσπεφευγότες οἱ πιστοὶ καθικετεύομεν, λυτρωθῆναι διὰ σοῦ Χριστοῦ ἀθληφόρε, τῶν σκανδάλων τοῦ ἐχθροῦ τοὺς ἀνυμνοῦντάς σε, ἐκ παντοίων τε κινδύνων καὶ κακώσεων, καὶ σοὶ κράζοντας· Χαῖρε, Κόρη θεόνυμφε.

Ἄγγελοι ἐν τοῖς ἄνω, καὶ βροτοὶ ἐν τοῖς κάτω, ὑμνοῦσι τὴν Ἁγίαν Βαρβάραν, (τρίς) οἱ μὲν ἀϋλωτάταις ᾠδαῖς, οἱ δὲ ἐν φωναῖς ταῖς ὑλικαῖς ᾄδοντες, γηθόμενοι, θαμβούμενοι, βοῶντες πρὸς αὐτὴν τοιαῦτα·

Χαῖρε, δι᾽ ἧς ἡ Τριὰς ἐκλάμπει·
χαῖρε, δι᾽ ἧς ἡ Παλλὰς ἐκλείπει.

Χαῖρε, ἀγεννήτου Πατρὸς κόρη ἄμωμος·
χαῖρε, μονογενοῦς Υἱοῦ νύμφη ἄνυμφος.



Χαῖρε, Πνεῦμα τὸ Παράκλητον ὅτι ᾤκησεν ἐν σοί·
χαῖρε, ὅτι ἐποιήσατο ἡ Τριὰς ἐν σοὶ μονήν.

Χαῖρε, ὅτι ἠράσθη ἡ Τριὰς τοῦ σοῦ κάλλους·
χαῖρε, ὅτι προσήχθης καθαρὰ τῇ Τριάδι.

Χαῖρε, ἀχλὺν ἀπάτης ἡ ῥήξασα·
χαῖρε, αὐγὴν Τριάδος κηρύξασα.

Χαῖρε, ὑφ᾽ ἧς φυγαδεύονται νόσοι·
χαῖρε, δι᾽ ἧς δραπετεύει λοιμώδης.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Βλέπουσα ἡ Ῥωσσία, εὐσεβῶς καὶ Δακία, τοῦ σκήνους σου τοῦ χαριτοβρύτου, ὦ παρθενομάρτυς τὰ πολλά, καὶ ἐξαίσια ὡς ἀληθῶς θαύματα, ἐν ὕμνοις σὲ γεραίρουσι, βοῶσαι σὺν ἡμῖν τὸν ὕμνον·

**Ἀλληλούϊα.**

Γνοῦσα γνῶσιν τὴν θείαν, ἡ παρθένος Βαρβάρα, ἐκέλευσε τοὺς οἰκοδομοῦντας, εἰς Τριάδος τύπον ἐναργῆ, καὶ θυρίδα τρίτην τῷ λουτρῷ δείμασθαι· ἡ κτίσις τρισηλίῳ γάρ, φωτὶ αὐγαζομένη κράζει·

Χαῖρε, φωτὸς τρισηλίου κῆρυξ·
χαῖρε, Τριάδος ἡδεῖα σάλπιγξ.

Χαῖρε, ἁπασῶν ἀρετῶν τὸ θησαύρισμα·
χαῖρε, τῶν Παρθένων Μαρτύρων ἀγλάϊσμα.

Χαῖρε, κάλλος ἡ ποθήσασα τοῦ Νυμφίου τῶν ψυχῶν·
χαῖρε, εὐανθὴς παράδεισος, τῶν χαρίτων ὁ λειμών.

Χαῖρε, ἄκος καὶ ῥύστις ἀνιάτως νοσούντων·
χαῖρε, σκέπη καὶ φύλαξ τῶν πιστῶς σε ὑμνούντων.

Χαῖρε, πηγὴ χαρίτων ἀέναος·
χαῖρε, ῥοὴ θαυμάτων ἀδάπανος.

www.tezaurliturgic.ro

Χαῖρε, Πατρὸς καὶ Υἱοῦ ἱερεῖον·
χαῖρε, τοῦ Πνεύματος θεῖον σεμνεῖον.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Δύναμιν τῆς Τριάδος, εἰληφυῖα Βαρβάρα, ὑπέμεινας γενναίως τοὺς πόνους· ἐν οἷς σε ἡ Ἰουλιανή, θεωροῦσα ἄθλων σου ἐκοινώνει σοι· καὶ δόξης ἰσοτίμου σοι, λαχοῦσα βοᾷ σὺν σοὶ ὕμνον·

**Ἀλληλούϊα.**

Ἔχουσα ἡ Ῥωσσία, σοῦ τὸ δέμας τὸ θεῖον, ἀναγράφει σοι χαριστηρίους· σὴν δὲ κάραν πλουτοῦντες ἡμεῖς, συστοιχοῦντες πόθῳ ὁλικῷ πάνσεμνε, τοῖς μέλεσιν ὡς ἄνθεσι, νῦν στέφομέν σε ἐκβοῶντες·

Χαῖρε, χαρὰ σὺ Ἀδὰμ καὶ Εὔας·
χαῖρε, γυναίων Μαρτύρων σέλας.

Χαῖρε, τὸν Σταυρὸν παθημάτων βαστάσασα·
χαῖρε, τὸν αὐτῷ τανυθέντα δοξάσασα.

Χαῖρε, πνεύματα ἐλαύνουσα ὀλοθρεύοντα ἡμᾶς·
χαῖρε, ῥεύματα ὀμβρίζουσα καὶ θαυμάτων προχοάς.

Χαῖρε, εὐτονωτέρα τοῦ χαλκοῦ καὶ σιδήρου·
χαῖρε, τιμιωτέρα τοῦ χρυσοῦ καὶ σαπφείρου.

Χαῖρε, Χριστοῦ ἡ σῦριγξ ἡδύφωνος·
χαῖρε, Θεοῦ φωνοῦσα μυστήριον.

Χαῖρε, θυμὸν τοῦ Θεοῦ ἡ κρατοῦσα·
χαῖρε, εἰρήνην τῷ κόσμῳ διδοῦσα.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Ζήλου θείου πλησθεῖσα, καὶ πατρὶ μὴ πεισθεῖσα, ξοάναις σέβας ἄνομον νεῖμαι, εἰς τὴν γῆν κατέα-



ξας αὐτά, ἀπειλὰς τυράννων μηδαμῶς πτήξασα, ὡς σέβουσα τήν ἄκτιστον, Τριάδα ᾗ σεμνὴ ἐβόας·

**Ἀλληλούϊα.**

Ἤκουσαν οἱ δομοῦντες, τῆς Βαρβάρας εἰπούσης, καὶ τρίτην προσετίθουν θυρίδα, τῷ λουτρῷ τοῦ τριλαμποῦς φωτός, εἰς Πατρὸς τύπον, καὶ Υἱοῦ καὶ Πνεύματος· παρ' οὗ καταυγαζόμενοι, αὐτὴν ἀνευφημοῦμεν οὕτως·

Χαῖρε, φωτὸς τριφεγγοῦς θυγάτηρ·
χαῖρε, Χριστοῦ τοῦ Θεοῦ ἡ Νύμφη.

Χαῖρε, τοῦ Πατρὸς καὶ Υἱοῦ θεῖον τέμενος·
χαῖρε, Παρακλήτου δοχεῖον τὸ εὔοσμον.

Χαῖρε, ὅτι θεοδίδακτος ῥητορεύεις τὸ τριττόν·
χαῖρε, ὅτι ἀκατάβλητος μένεις ἐν τοῖς πειρασμοῖς.

Χαῖρε, ἡ θεηγόρος καὶ παρθένος καὶ μάρτυς·
χαῖρε, ἡ ἐστεμμένη διαδήμασι πλείστοις.

Χαῖρε, τερπνὸν Ἑῴας ἀγλάϊσμα·
χαῖρε, λαμπρὸν Εὐρώπης θησαύρισμα.

Χαῖρε, πιστῶν πρὸς Θεὸν ἡ μεσῖτις·
χαῖρε, ἡμῶν ἐξαιρέτως προστάτις.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Θεοῤῥῆμον Βαρβάρα, τοῦ Κυρίου τῆς δόξης, σὺ θέσει χρηματίζεις θυγάτηρ· ὅς σε ἀθανατίσας σεμνή, φῶς ἀπρόσιτόν σοι καθορᾶν δέδωκε· τοὺς δὲ ἀνευφημοῦντάς σε, κινδύνων σώζει καὶ βοῶντας·

**Ἀλληλούϊα.**

www.tezaurliturgic.ro

Ἴδον τῶν οὐρανίων, ὑπερκόσμιοι νόες, γενέτην τῇ χειρὶ παιδοκτόνον· ἀλλὰ καὶ ἐν τάχει τὸν αὐτόν, δίκην τείσαντα, τὴν δὲ ὡσεὶ πέλειαν, μολοῦσαν εἰς σκηνώματα, Θεοῦ ἐν οἷς αὐτῇ βοῶσι·

Χαῖρε, Κυρίου φρονίμη νύμφη·
χαῖρε, Θεῷ ἡ δοθεῖσα ὅλη.

Χαῖρε, ἡ τὸ σῶμα ἐκδοῦσα ταῖς μάστιξι·
χαῖρε, ἡ τὰς σάρκας ξανθεῖσα τοῖς ὄνυξι.

Χαῖρε, σχέσιν ἡ τὴν πάτριον παριδοῦσα ἐν χαρᾷ·
χαῖρε, γῆθεν πρὸς οὐράνια ἐκδημοῦσα καθαρά.

Χαῖρε, ὅτι ὑπάρχεις χαρμονὴ τῶν Ἀγγέλων·
χαῖρε, ὅτι τυγχάνεις κλονισμὸς τῶν δαιμόνων.

Χαῖρε, ψευδῆ τὴν πλάνην ἡ δείξασα·
χαῖρε, ἁγνὴν τὴν πίστιν τηρήσασα.

Χαῖρε, ἀΰλων τερπνὴ θυμηδία·
χαῖρε, Χριστοῦ θαυμαστὴ εὐωδία.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Κάκιστε γεννητόρων, σκοτεινὲ τὴν καρδίαν, πῶς φύσεως τῆς σῆς ἐπελάθου, ἀφειδήσας τοιαύτης παιδός, ὡς ἐχθρὸς αὐτῇ διατεθεὶς ἄσπονδε; ἀλλ' ὅμως λυτρωθείημεν, κακίας τῆς αὐτῆς βοῶντες·

**Ἀλληλούϊα.**

Λάμψασα ἐν τῷ κόσμῳ, καὶ ἐν πόλῳ ὡς ἄστρον, φωτίζεις τὰς ἡμῶν διανοίας, ἐκ τοῦ ὕψους φρουροῦσα ἡμᾶς· ἐπὶ γῆς λιποῦσα δὲ τὸ σὸν λείψανον, ὡς ὄλβον ἀναφαίρετον, ἀκούεις παρ' ἡμῶν τοιαῦτα·

Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας·
χαῖρε, τὸ κάλλος τῆς παρθενίας.



Χαῖρε, τοῦ πατρὸς τὴν μανίαν μισήσασα·
χαῖρε, τῶν ἀγγέλων τὸν βίον ποθήσασα.

Χαῖρε, σώματος εὐγένειαν παραδοῦσα αἰκισμοῖς·
χαῖρε, ὅτι συνεχάρη σοι Θέκλα ἐν τοῖς οὐρανοῖς.

Χαῖρε, ἐξ ἀκανθῶν ἀναφυεῖσα ὡς ῥόδον·
χαῖρε, κρίνον μυρίζον, τὸ τερπνὸν καὶ ὡραῖον.

Χαῖρε, κρουνὲ προχέουσα νάματα·
χαῖρε, πιστοῖς διδοῦσα ἰάματα.

Χαῖρε, ἀλάβαστρον πλῆρες τοῦ μύρου·
χαῖρε, ἡ Μάρτυς καὶ Νύμφη Κυρίου.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Μάστιγος τῆς λοιμώδους, πάσης ἄλλης τε νόσου, ἀπάλλαξον λιταῖς σου τὸν κόσμον· παῤῥησίαν γὰρ ἔχεις Χριστῷ, δι' Ὃν πόνους Μάρτυς τοὺς φρικτοὺς ἤνεγκας, αὐτῷ ἐνατενίζουσα, πρὸς Ὃν ἀπὸ ψυχῆς ἐβόας·

**Ἀλληλούϊα.**

Νέαν Θέκλαν ἡ πέτρα, ὑπεδέχθη ῥαγεῖσα, μανίας τοῦ πατρὸς ῥυομένη· ἀλλὰ νεύμασιν ἐπιβουλῆς, ἐκ χειρῶν οἴμοι! τῶν πατρικῶν τέμνεται, πληροῦσα Ἰσαὰκ σφαγήν· διὸ καὶ παρ' ἡμῶν ἀκούει·

Χαῖρε, πατρὸς οὐρανίου νύμφη·
χαῖρε, πατρὸς ἐπιγείου θῦμα.

Χαῖρε, τὸ ἀμήχανον κάλλος ποθήσασα·
χαῖρε, διαρρέουσαν δόξαν πατήσασα.

Χαῖρε, ὅτι εἰσελήλυθας εἰς τοὺς γάμους ἐν χαρᾷ·
χαῖρε, ὅτι τὴν Ὑπέραγνον Θεοτόκον καθορᾷς.

www.tezaurliturgic.ro

Χαῖρε, τῇ πανοπλίᾳ τοῦ Σταυροῦ φραξαμένη·
χαῖρε, αὐτοχειρίᾳ πατρικῇ τεθυμένη.

Χαῖρε, ἀμνὰς Χριστοῦ ἡ ἀμίαντος·
χαῖρε, Αὐτοῦ ἡ νύμφη ἡ ἄμωμος.

Χαῖρε, ἁγνὴ παρθενόφυτε κάλυξ·
χαῖρε, ἡμῶν τῶν τιμώντων σε φύλαξ.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Ξέσεις φέρεις σαρκός σου, τὴν τομὴν τῶν μαστῶν τε, καὶ καῦσιν τῶν πλευρῶν ταῖς λαμπάσι, καὶ τὴν πεῖραν δεινῶν αἰκισμῶν, ἀφορῶσα μόνον πρὸς Χριστὸν πάνσεμνε, ὑφ᾽ οὗ ἰσχὺν λαμβάνουσα, Βαρβάρα ἀνεβόας ὕμνον·

**Ἀλληλούϊα.**

Ὅλη εἶ ἡ πλησίον, ὡς καλὴ ὡς ὡραία, ἐν ᾗ οὐκ ἔστι μῶμος Βαρβάρα, ὁ Νυμφίος σοὶ κράζει σεμνή· οὗ ποθοῦσα κάλλος εἰσελθεῖν ἔσπευσας, νυμφῶνα τὸν τερπνὸν αὐτοῦ· διό σοι προσφωνοῦμεν πόθῳ·

Χαῖρε, Παρθένων σεμνῶν φαιδρότης·
χαῖρε, Μαρτύρων ἡ ὡραιότης.

Χαῖρε, τὴν Μητέρα Κυρίου ποθήσασα·
χαῖρε, τὸν Υἱὸν τὸν Αὐτῆς ἀγαπήσασα.

Χαῖρε, ὅτι πάντα σκύβαλα ἥγησαι διὰ Χριστόν·
χαῖρε, ὅτι σὲ ἡρμόσατο τῷ Χριστῷ Μήτηρ Θεοῦ.

Χαῖρε, κῆπος χαρίτων εὐανθὴς καὶ ὡραῖος·
χαῖρε, ὅτι εὐφραίνεις τοὺς βροτοὺς καὶ ἀγγέλους.

Χαῖρε, τῷ κάλλει νικῶσα τὸν ἥλιον·
χαῖρε, θαυμάτων πληροῦσα ὑφήλιον.



Χαῖρε, πολλῶν ἀσθενῶν παραστάτις·
χαῖρε, ἀεὶ ἡ θερμή μου προστάτις.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Ποῦ ποιμαίνεις Νυμφίε; τετρωμένη σῷ πόθῳ, ἐβόα ἐν σταδίῳ ἡ Μάρτυς· τὰς νιφάδας γὰρ τῶν αἰκισμῶν, στομουμένη πόθῳ φέρω σῷ ἥδιστα, πρὸς σὲ δὲ κατεπείγομαι, ἵνα μετὰ ἀγγέλων ψάλλω·

**Ἀλληλούϊα.**

Ῥώμην τὴν ὑπὲρ φύσιν, τῆς Βαρβάρας ὁρῶσα, ὑψόθεν ἡ Ἁγνὴ Θεοτόκος, καὶ πάλην πρὸς ἀσάρκους ἐχθρούς, καὶ τὴν μέχρι τέλους καρτερὰν ἔνστασιν, ηὐφράνθη καὶ προτρέπεται, πιστοὺς αὐτῇ βοᾶν τοιαῦτα·

Χαῖρε, θεόνυμφε, θεῖον θαῦμα·
χαῖρε, ἁγνότατον, κόρη, θῦμα.

Χαῖρε, τῶν εἰδώλων τὸ ψεῦδος πατήσασα·
χαῖρε, τῆς Τριάδος τὴν δόξαν κηρύξασα.

Χαῖρε, λύσιν ἡ βραβεύουσα νοσημάτων τοῖς πιστοῖς·
χαῖρε, πάντοτε προφθάνουσα πανταχοῦ ὅπου κληθῇς.

Χαῖρε, θεοσοφίᾳ θανατοῦσα δυσθέους·
χαῖρε, θεηγορίᾳ τέρπουσα φιλοθέους.

Χαῖρε, δι᾽ ἧς ἐχθρὸς τεθανάτωται·
χαῖρε, δι᾽ ἧς Θεὸς τεθαυμάστωται.

Χαῖρε, ἁγνὴ καὶ ὡραία παρθένος·
χαῖρε, καὶ γὰρ πρέπει σοι ἅπας αἶνος.

**Χαῖρε, Κόρη θεόνυμφε.**

www.tezaurliturgic.ro

Σύσκηνον ἔχεις πόλῳ, τὴν ἐν γῇ συναθλοῦσαν, σοὶ Ἰουλιανὴν τὴν Παρθένον, μεθ' ἧς σε ἡ Μήτηρ τοῦ Θεοῦ, εἰς Νυμφῶνα θεῖον τοῦ Χριστοῦ ἔλαβεν, ὁμοῦ τοῦ συναγάλλεσθαι, καὶ ψάλλειν εἰς αἰῶνας ὕμνον·

**Ἀλληλούϊα.**

Τάγματα τῶν Ἀγγέλων, σὲ ᾐδέσθησαν Μάρτυς, τὸ κάλλος σῆς ψυχῆς καθορῶντα· γυμνωθεῖσαν δὲ διὰ Χριστόν, φωτεινὴν ἐνδύει σε στολὴν ἄγγελος, καὶ δόξης σε ἐμπίπλησιν, ἀεὶ σοι προσφωνεῖν διδάξας·

Χαῖρε, ἡ δόξα τῶν ἀθλοφόρων·
χαῖρε, ἡ μοῦσα τῶν θεολόγων.

Χαῖρε, ἀπειλὰς καὶ βασάνους μὴ πτήξασα·
χαῖρε, τὰ δεσμὰ προσπαθείας ἡ ῥήξασα.

Χαῖρε, ὅτι σὺ ἐξέπληξας τάξεις τὰς ἀγγελικάς·
χαῖρε, ὅτι σὺ διέλυσας τοῦ δολίου τὰς πλοκάς.

Χαῖρε, σῶφρον, ἀνδρεία, συνετὴ καὶ ὡραία·
χαῖρε, κῆρυξ, παρθένος, εὐγενὴς καὶ δικαία.

Χαῖρε, σαρκὸς τὴν γύμνωσιν φέρουσα·
χαῖρε, ἣν Νόες δόξαν ἐνέδυσαν.

Χαῖρε, δι' ἧς ἡ Τριὰς ἐδοξάσθη·
χαῖρε, δι' ἧς ὁ σατὰν κατῃσχύνθη.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Ὕειν ἴασιν πᾶσι, τοῖς ὑμῶν ἐκτελοῦσι, τὸ πάνσεπτον μνημόσυνον Κόραι, Βαρβάρα τε καὶ Ἰουλιανή, ἐκπληρῶν ἐντεύξεις τὰς ὑμῶν Κύριος, ὑπέσχετο δεξάμενος, ψυχάς ὑμῶν ἐκβοωσῶν τό·

**Ἀλληλούϊα.**



Φαίνεταί σοι Βαρβάρα, ἐν εἱρκτῇ ὁ Δεσπότης, χαρᾶς ἀνεκλαλήτου πληρῶν σε· καὶ ἰώμενός σου τὰς πληγάς, τὰς ὀδύνας φέρειν εὐθαρσῶς πείθει σε· ἡμεῖς δὲ εὐλαβούμενοι, τοὺς ἄθλους σου σοὶ προσφωνοῦμεν·

Χαῖρε, Χριστοῦ πριστήριος ἔρως·
χαῖρε, ἁγνὸν παρθενίας κάλλος.

Χαῖρε, τῶν Ἀγγέλων λαβοῦσα εὐγένειαν·
χαῖρε, τοῦ Κυρίου πλουτοῦσα εὐμένειαν.

Χαῖρε, ὅτι πλείστας χάριτας ἔλαβες παρὰ Θεοῦ·
χαῖρε, ὅτι τοὺς τιμῶντάς σε ποιεῖς τούτων κοινωνούς.

Χαῖρε, χάριν διδοῦσα τοῖς εἰς σὲ προσιοῦσι·
χαῖρε, ὅτι σὺ πάρει τοῖς ἀεί σε αἰτοῦσι.

Χαῖρε, ὀδύνης πάσης τὸ ἴαμα·
χαῖρε, πολλῶν παθῶν τὸ ἀλέξημα.

Χαῖρε, ψυχῶν καὶ σωμάτων ἀκέστορ·
χαῖρε, τῆς νῦν ἑορτῆς ἑστιάτορ.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Χάριν Μάρτυς ᾐτήσω, ἐκ τῆς λοίμης λυτροῦσθαι, τοὺς σέβοντας τὴν θείαν σου μνήμην· ἧς ἐν τάχει ἔτυχες σαφῶς, φθεγγομένης θείας σοι φωνῆς ἄνωθεν, πληρούσης τὰς ἐντεύξεις σου, καὶ πάντας διδασκούσης ψάλλειν·

**Ἀλληλούϊα.**

Ψάλλουσί σου τὴν δόξαν, τῶν Ἀγγέλων οἱ δῆμοι, καὶ ἄνθρωποι ἐν γῇ ἀθληφόρε· δεξαμένη οὖν καὶ τὴν ἡμῶν, ἐκ πτωχῶν στομάτων ταπεινὴν δέησιν, ἐπίφανον, θεράπευσον, ὁδήγησον τοὺς σοὶ βοῶντας·

Χαῖρε, πιστῶν ἀρωγὸς ἑτοίμη·
χαῖρε, ἐν ζάλῃ παθῶν γαλήνη.

www.tezaurliturgic.ro

Χαῖρε, τοῦ Θεοῦ θαρσαλέα δυσώπησις·
χαῖρε, τῶν παθῶν λοιμικῶν ἀποσόβησις.

Χαῖρε, δόξαν ἀδιάδοχον ἔχουσα ἐν οὐρανῷ·
χαῖρε, εὔκλειαν μὴ λήγουσαν πλουτισθεῖσα ἐν Χριστῷ.

Χαῖρε, σὺν τῇ συνάθλῳ εἰς αἰῶνα αἰῶνος·
χαῖρε, ἡ μετασχοῦσα οὐρανίου νυμφῶνος.

Χαῖρε, λοιμώδους νόσου ἡ ἴασις·
χαῖρε, ποίμνης τῆς σῆς ἀγαλλίασις.

Χαῖρε, ἡμῶν πρὸς Θεὸν μεσιτεία·
χαῖρε, κἀμοῦ βοηθὸς σωτηρίας.

**Χαῖρε, Κόρη θεόνυμφε.**

Ἅγιε ἔνδοξε μεγαλομάρτυς τοῦ Χριστοῦ
Βαρβάρα, πρέσβευε ὑπὲρ ἡμῶν.

ιγ΄ Ὦ πανένδοξε Μάρτυς, τοῦ Κυρίου μου Νύμφη, παρθένε σεμνοτάτη Βαρβάρα· (τρίς) τὴν Ἁγνὴν Μητέρα τοῦ Θεοῦ, συνεργὸν λαβοῦσα ὑπὲρ ἡμῶν πρέσβευε, τυχεῖν τῆς ἄνω λήξεως, τοὺς ὕμνον σοι συμμελῳδοῦντας·

**Ἀλληλούϊα.**

*Καὶ αὖθις, τὸ Κοντάκιον.*
*Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Τῇ ὑπερμάχῳ καὶ ταχείᾳ ἀντιλήψει σου, προσπεφευγότες οἱ πιστοὶ καθικετεύομεν, λυτρωθῆναι διὰ σοῦ Χριστοῦ ἀθληφόρε, τῶν σκανδάλων τοῦ ἐχθροῦ τοὺς ἀνυμνοῦντάς σε, ἐκ παντοίων τε κινδύνων καὶ κακώσεων, καὶ σοὶ κράζοντας· Χαῖρε, Κόρη θεόνυμφε.

(Ἐκ τοῦ βιβλίου «*Ὑμνολόγιον χαρμόσυνον*»).
Ἔκδοσις Ἱερᾶς Μονῆς Σταυροβουνίου Κύπρου. (σελ. 300-310)



## ΑΚΡΟΣΤΙΧΙϹ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ЄΙϹ ΤΗΝ ΑΓΙΑΝ ΜЄΓΑΛΟΜΑΡΤΥΡΑ ΒΑΡΒΑΡΑΝ.

Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

Ἀνευφημοῦμεν σε ᾠδαῖς καὶ ὕμνοις ἑορτίοις,
Βαρβάρα καλλιπάρθενε Χριστοῦ Μεγαλομάρτυς.
Γονέων σου ἠρνήθης γὰρ τὴν σκοτισθεῖσαν πλάνην,
Δεσπότῃ γῆς καὶ οὐρανοῦ Χριστῷ συναρμοσθεῖσα.
Εἰδώλων τῶν ἀψύχων τε συνέτριψας τοὺς τύπους,
Ζῶσαν λατρείαν λογικὴν προσάγουσα Κυρίῳ.
Ἡνίκα γὰρ παρέστηκας ἐνώπιον τυράννων,
Θεοῦ σου διετράνωσας τὸ Ὄνομα τὸ μέγα.
Ἰδὼν δὲ τῆς καρδίας σου τῆς καρτερᾶς τὸν τόνον,
Κελεύει ὁ διώκτης σοι ἐπαγωγὰς βασάνων.
Λύειν οὐχ ἴσχυσε ποσῶς ἀνδρείας σου τὸ σθένος,
Μάλα δὲ ἐκρατύνεσο τῇ τοῦ Χριστοῦ δυνάμει.
Νεότητος παρέδραμες τῆς ἁπαλῆς τὸ ἄνθος,
Ξενώσασα σαυτὴν δεσμῶν καὶ ἡδονῶν τοῦ κόσμου.
Ὅλῃ ἐφέσει τὸν Θεὸν τῶν ὅλων ἀγαπῶσα.
Πτεροῖς δὲ ἔρωτος Αὐτοῦ εἰς οὐρανούς ἀρθεῖσα.
Ροαῖς αἱμάτων σου τὴν γῆν ἐφοίνιξας τιμίως.
Σφραγίσασα ἀθλητικῶς τὸν δρόμον τοῦ σοῦ βίου.
Τέλος σου τό μαρτυρικόν ἀξίως μακαρίζω,
Ὑπάντησιν ἐν προσφοραῖς σῶν ὕμνων προσδοκῶσα.
Φωτὸς ἐν πανηγύρεσι λαμπραῖς ὡς παρεστῶσα,
Χαρὰν μοι ἀντιβράβευσον Βαρβάρα οὐρανίαν.
Ψάλλεται τὸ μνημόσυνον τὸ σὸν εἰς τοὺς αἰῶνας,
Ὡς Μάρτυς γὰρ παρίστασαι ἐν δόξῃ στεφηφόρος.

www.tezaurliturgic.ro

## Ἐν κατακλείδι...

Προσφέροντες ἀπὸ ψυχῆς, ὡς δίλεπτον τῆς χήρας, Κυρίῳ τῷ Θεῷ ἡμῶν τὴν θείαν βίβλον ταύτην, ἥν ἐξεπονήσαμεν τῆς εὐσεβείας ζήλῳ, τούτου τὸ μέγα ἔλεος αἰτούμεθα ἐν πᾶσιν. Τὰς προσευχὰς ἅμα ὑμῶν, τῶν μελετώντων ταύτην, ἐν ταπεινώσει τῆς ψυχῆς καὶ θείᾳ ἐπιγνώσει, ἐπιζητοῦμεν θέλοντες Θεῷ εὐαρεστῆσαι. Ὅπως ὁμοῦ τὸν τῶν καλῶν ἀγῶνα περαιοῦντες, τόν στέφανον τὸν ἀληθῆ λάβωμεν ἐπαξίως, Ὃν Κύριος ὑπέσχετο τοῖς βιασταῖς καὶ φίλοις. Καὶ τῆς τραπέζης Οὐρανοῦ φαιδροὶ συνδαιτυμόνες, συνευρεθείημεν τιμῆς καὶ δόξης ἐν μεθέξει, τὸν Βασιλέα τοῦ παντὸς ἀεὶ συμπροσκυνοῦντες. Πατέρα τὸν Προάναρχον, Υἱὸν τὸν γεννηθέντα καὶ Πνεῦμα τὸ Πανάγιον, τὴν μίαν θεαρχίαν, ἐν πίστει μεγαλύνοντες, πρεπόντως εἰς αἰῶνας. ΑΜΗΝ.

ΤΕΛΟΣ
ΚΑΙ Τῼ ΔΕΣΠΟΤῌ ΤΟΥ ΠΑΝΤΟΣ
ΘΕῼ ΤΡΙΣΥΠΟΣΤΑΤῼ
ΟΣΤΙΣ ΠΑΝΤΩΝ ΕΣΤΙ ΑΡΧΗ ΚΑΙ ΤΗΣ ΖΩΗΣ ΑΙΤΙΑ
ΚΑΙ ΤΩΝ ΚΑΛΩΝ ΕΠΙΛΟΓΟΣ ΚΑΙ ΑΓΑΘΩΝ ΠΛΗΡΟΤΗΣ
ΔΟΞΑ, ΤΙΜΗ, ΠΡΟΣΚΥΝΗΣΙΣ ΚΑΙ Η ΜΕΓΑΛΩΣΥΝΗ
ΑΝΗΚΕΙ ΝΥΝ ΤΕ ΚΑΙ ΑΕΙ, ΑΙΩΝΑΣ ΕΙΣ ΑΠΕΙΡΟΥΣ,
ΟΥΣ ΕΝ ΑΡΧῌ ΕΠΟΙΗΣΕ, ΤΟΥ ΕΙΝΑΙ ΑΝΕΥ ΤΕΛΟΥΣ.